*Οἰνοπίωνα καὶ Στάφυλον· ὧν καὶ ὁ Χῖος Ἴων ἐστὶν περὶ τῆς ἑαυτοῦ πατρίδος λέγων·*

*τόν ποτε Θησείδης ἔκτισεν Οἰνοπίων.*

**30** Diogenes Laertius 1. 120, de Pherecyde Syrio *Ἴων δὲ ὁ Χῖός φησιν περὶ αὐτοῦ·*

*ὣς ὁ μὲν ἠνορέηι τε κεκασμένος ἠδὲ καὶ αἰδοῖ*
*καὶ φθίμενος ψυχῆι τερπνὸν ἔχει βίοτον,*
*εἴπερ Πυθαγόρης ἐτύμως σοφός, ὃς περὶ πάντων*
*ἀνθρώπων γνώμας εἶδε καὶ ἐξέμαθεν.*

**31** Ath. 436f *Βάτων δὲ ὁ Σινωπεὺς ἐν τοῖς περὶ Ἴωνος τοῦ ποιητοῦ* (268 F 6) *φιλοπότην φησὶν γενέσθαι καὶ ἐρωτικώτατον τὸν Ἴωνα. καὶ αὐτὸς δὲ ἐν τοῖς ἐλεγείοις ἐρᾶν μὲν ὁμολογεῖ Χρυσίλλης τῆς Κορινθίας, Τελέου δὲ θυγατρός· ἧς καὶ Περικλέα τὸν Ὀλύμπιον ἐρᾶν φησι Τηλεκλείδης ἐν Ἡσιόδοις* (fr. 17 Kock).

**32** 'Cleonides,' *introd. harm.* 12 (Euclid. viii. 266 Menge)

⊗ *ἑνδεκάχορδε λύρα, δεκαβάμονα τάξιν ἔχουσα*
*†τὰς συμφωνούσας ἁρμονίας τριόδους·*
*πρὶν μέν σ' ἑπτάτονον ψάλλον διὰ τέσσαρα πάντες*
*Ἕλληνες, σπανίαν μοῦσαν ἀειράμενοι.*

## MELANTHIUS

Atheniensis
s.v pars post.

**1** Plut. *Cimon* 4. 6-7 *ἔτι δὲ νέος ὢν αἰτίαν ἔσχε πλησιάζειν τῇ*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/140 UNIVERSITÄT LEIPZIG